# De non scandalizando proximo, et de recta vitae ratione, adhortatio

# Περὶ τοῦ μὴ σκανδαλίζειν τὸν πλησίον, καὶ περὶ ὀρθοῦ βίου

Παραίνεσις

Τοὺς προσελθόντας ἐπὶ τὸ στάδιον τῆς εὐσεβείας καὶ τὴν χεῖρα ἐπὶ τὸ ἄροτρον ἐπιβαλόντας, οὐ χρὴ εἰς τὰ ὀπίσω ἀποσπᾶν καὶ ἐμπόδιον αὐτοῖς καθεστάναι τοῦ σκοποῦ τῆς πρὸς Θεὸν εὐαρεστήσεως, ἀλλὰ μᾶλλον πρὸς τελειότητα χειραγωγεῖν. Εἴρηται γὰρ περὶ τῶν τοιούτων, ὅτι ὁ ἁπτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. Ὁ οὖν μὴ βουλόμενος καταλύειν τὴν ἐντολὴν τοῦ Θεοῦ, ἀσφαλιζέσθω ἑαυτὸν πάντοθεν μὴ σκανδαλίσαι τὸν ἕτερον· μάλιστα δὲ τὸν προσελθόντα Κυρίῳ τῷ Θεῷ καὶ τοὺς τοῦ κόσμου βρόχους 155 ἀποφυγόντα, ἵνα μὴ συγκαταριθμηθῇ καὶ αὐτὸς οἷς ὁ Προφήτης καταμέμφεται λέγων· οὐαὶ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν, καὶ οὐαὶ οἱ ἐπιχαίροντες ἐπὶ κακοῖς, καὶ οἱ εὐφραινόμενοι ἐπὶ διαστροφῇ κακῇ· ὧν αἱ τρίβοι σκολιαί, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν, τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας καὶ ἀλλότριον τῆς δικαίας γνώμης· ἐν τούτοις γὰρ ἐνόχους ἑαυτοὺς καθιστῶσι τῆς ὀργῆς τοῦ Θεοῦ, καθὼς ἐν τῷ Εὐαγγελίῳ ἀπεφήνατο λέγων· λυσιτελεῖ ἀνθρώπῳ ἵνα μύλος ὀνικὸς περιτεθῇ περὶ τὸν τράχηλον αὐτοῦ καὶ ῥιφῇ εἰς τὸ πέλαγος τῆς θαλάσσης, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ. Ἀπόρρητος γὰρ ἡ ἐκ τούτου ἐγγινομένη βλάβη τε καὶ ζημία. Διαγραψώμεθα τοιγαροῦν τὴν ὑπόθεσιν κατὰ τὸ δυνατόν, ἵνα ἐκ τοῦ μικροῦ τούτου ὑποδείγματος ἀπεικάσωμεν τὸ ὅλον τῆς ἐμπορίας, καὶ κατανοήσαντες τὴν τοσαύτην βλάβην, φόβῳ τηρήσωμεν ἑαυτούς, μὴ τιθέναι πρόσκομμα τῷ πλησίον ἢ σκάνδαλον. Υἱός τις ὑπῆρχε μονογενὴς τοῖς γεννήσασιν αὐτόν, καὶ ἠγάπων τοῦτον σφόδρα, καθότι πᾶσαν τὴν ἐλπίδα μετὰ Θεὸν εἰς τοῦτον εἶχον, 156 προσδοκῶντες δι' αὐτοῦ ἔχειν τὴν καλλίστην καὶ πρέπουσαν τοῦ βίου ἐσχάτην ἐλπίδα, καὶ τὴν τοῦ γένους διαδοχὴν καὶ ἀνανέωσιν διὰ τῆς τούτου παιδοποιΐας ἔσεσθαι. Ὁ δὲ νεανίας ἄφνω πάντα ῥίψας τὰ πρόσκαιρα, καταλαμβάνει τὴν ἔρημον καὶ γίνεται μοναχός, λύπην ἀφόρητον καταλιπὼν τοῖς οἰκείοις. Κλαίει ὁ πατήρ, θρηνεῖ ἡ μήτηρ, τῆς προσδοκωμένης ἐλπίδος αἰφνιδίως στερηθέντες, ἀναλογιζόμενοι ἅμα ὅτι οὐ δυνατὸν αὐτὸν ἔσεσθαι, ὥσπερ ἦν πρὸ τῆς ἀναχωρήσεως. Οὔτε γὰρ οἴκου πατρικοῦ ἔτι προστῆναι δυνατόν, οὔτε πρὸς παιδοποιΐαν ἐπιτήδειον, καθότι ἠρνήσατο ἑαυτὸν ἄνθρωπον εἶναι, ἐν τούτῳ τῷ μέρει ἁγιωσύνην ἀμφιασάμενος, καὶ ἐν σώματι ὑπάρχων τῶν ἤδη ἐν μνημείῳ ἐρριμμένων νεκρῶν οὐδὲν ἀπεοικὼς τοῖς κατὰ τὸν βίον πράγμασι. Τούτου χάριν κλαίει ὁ πατήρ, καταπενθεῖ ἡ μήτηρ, τὴν τοῦ ἰδίου υἱοῦ ἐπικουρίαν ἐπιζητοῦντες. Ἡ νύμφη μετὰ τοὺς ἀρραβῶνας ἀνετράπη. Ἐὰν χειροτέχνης ἦν, τὴν τέχνην πόρρω ἀπέρριψεν. Ἐὰν πραγματείαν μετήρχετο, ἡ ἐμπορία παρημέληται. Ἐὰν ἐν στρατείᾳ κατηριθμεῖτο, ταύτης ξένος γεγένηται. 157 Ἐὰν ἐν ἀξιώματι κατετέτακτο, τούτου ὑπερεφρόνησε· καὶ σχεδὸν λύσις τοῦ οἴκου ἐκ τῆς ὑποθέσεως γεγένηται. Πάντα γὰρ τὰ ὁρώμενα καὶ τὴν προσπάθειαν τῶν αἰσθητῶν πραγμάτων δίκην τριχῶν ἀποτεμών, γυμνὸς εἰσῄει ἐν τῷ σκάμματι τῆς εὐσεβείας, ἵνα Χριστὸν κερδήσῃ, τὸν Κύριον τῆς δόξης. Ἆρ' οὖν ἄξιος σκανδάλου καὶ ἀνατροπῆς ὁ τοιοῦτος; Μὴ γένοιτο! Τίς τοίνυν εἰς τοσαύτην κακίαν ἐξέλθοι, ὥστε προδότης καὶ καταποντιστὴς ἕλοιτο εἶναι τῆς τοσαύτης χρηστῆς ἐμπορίας; Ἢ τίς εἰς τοσαύτην ἀφοβίαν τοῦ κρείττονος ἤλασεν, ὥστε τὸν τρέχοντα καλῶς ἐκκόψαι τῆς προθυμίας καὶ ὀρθῆς προαιρέσεως, ὅπως τῶν ἐπιγείων ἀποξενωθεὶς τῶν οὐρανίων μὴ ἐφίκοιτο; Ἐὰν γὰρ μετὰ τὴν ἀποταγὴν καὶ ἀναχώρησιν τοῦ βίου ἄρξηταί τις χωλαίνειν πρὸς τὴν ἀρετήν, καὶ μετ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀλίγον ἔξω βαίνειν τῆς εὐθείας ὁδοῦ καὶ τὸ ὄμμα εἰς τὰ ὀπίσω περιστρέφειν, οὗτος καὶ ἐν τῷ παρόντι βίῳ εἰς παράδειγμα ἔσται, καὶ μετὰ τὴν ἔξοδον τῆς τῶν οὐρανῶν βασιλείας στερηθείς, ἀνάξιον ἑαυτὸν καταστήσει τοῦ χοροῦ τῶν Ἁγίων. Ἀλλὰ καὶ τοῖς γονεῦσιν ἡ τούτου ῥαθυμία εἰς ἐντροπὴν γενήσεται. Οἱ φίλοι περίλυποι. Οἱ ἐχθροὶ ἐπιχαίρουσιν ἐπὶ τῇ τούτου ῥαθυμίᾳ 158 καὶ ἐκπτώσει. Οἱ οἰκεῖοι θάνατον αὐτῷ ἐπικαλοῦνται, ὅτι τῶν ἐπιγείων στερηθείς, τῶν οὐρανίων οὐκ ἐδράξατο· καὶ προφάσει εὐσεβείας τὸν τοῦ Διαβόλου ὑπεισῆλθε ζυγόν· τὸν γὰρ ἔννομον ἀπωσάμενος γάμον, ἐν πορνείαις καὶ ἀσελγείαις ἐγκυλινδεῖται, καὶ ἐν κραιπάλαις καὶ μέθαις διημερεύει. Θρηνοῦσιν οἱ γονεῖς τὰς ζημίας, ἅμα τῇ τούτου ψυχῇ· ὁ δὲ πλανηθεὶς τῇ καρδίᾳ καὶ τὰς ὁδοὺς ἑαυτοῦ παραφθείρας, οὐδὲν τούτων προσποιεῖται, ἀλλὰ τὴν εὐλάβειαν ῥίψας χαμαί, τὴν ἀναίδειαν ὑποδύεται, καὶ ἀσχημονῶν οὐκ ἐντρέπεται· οὐδὲ γὰρ ἀνθρώπους αἰσχύνεται, οὐδὲ τὴν τοῦ Θεοῦ ἀγανάκτησιν ἐν νῷ λαμβάνει· διότι οὔτε τοῖς γονεῦσι τὴν ὀφειλομένην καὶ πρέπουσαν ἀπένειμε τιμήν, οὔτε τῷ πνευματικῷ ἔργῳ ἄξιον ἑαυτὸν παρέστησεν. Ἐντεῦθεν λοιπὸν ἀναφύονται λοιδορίαι πρὸς τὸ ἐπάγγελμα, καὶ πρὸς αὐτὴν τὴν εὐσέβειαν βλασφημίαι, ὅπερ φοβερόν ἐστι καὶ λέγειν. Καὶ ὥσπερ ἀσεβὴς ὅταν ἔλθῃ εἰς βάθος κακῶν καταφρονεῖ, οὕτω καὶ οὗτος εἰς τοσαύτην ἀφοβίαν ἐξοκείλας οὐ καταπτήσσει, ἀλλ' ὥσπερ ὁ ἀπεμπολήσας πάντα αὐτοῦ τὰ ὑπάρχοντα καὶ ὠνησάμενος 159 ἑαυτῷ στολὴν πολύτιμον, ὕστερον δὲ ἀπομανεὶς ἐνέπλησε ταύτην ἐπιβλήματα ῥακώδη ῥερυπωμένα· ᾗ ὁ χρησάμενος οὐκέτι εἰς ἔπαινον καὶ δόξαν, ἀλλ' εἰς χλεύην καὶ ὄνειδος αὐτῷ ἔσται. Τίς γὰρ οὐ καταγελάσειε τὸν χθὲς ἐν ὄρει ἑαυτὸν περιζώσαντα πρὸς ὑπηρεσίαν τῶν ὁμοψύχων ἀδελφῶν κατὰ μίμησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σήμερον <δὲ> ὑπὸ οἰκετῶν δορυφορούμενον, καὶ ὑπὸ θεραπαινίδων νιπτόμενον τοὺς πόδας, καὶ ἐν μαλακῇ στρωμνῇ ἀνακλινόμενον [τοὺς πόδα], καὶ πρὸς τὸν ὑγρὸν καὶ ἐμπαθῆ βίον πάλιν ῥέψαντα; Ἢ τίς οὐ χλευάσει τὸν χθὲς ἐν κελλίῳ ἐγκεκλεισμένον, καὶ συντυχίας πολλῶν ἀποτρεπόμενον, σήμερον <δὲ> μετὰ γυναικαρίων ἀσέμνων συνδιαιτώμενον, καὶ ἐν καπηλείοις οἰνοφλυγοῦντα; Ἢ τίς οὐ μέμψηται τὸν χθὲς πάντα τὰ βιωτικὰ αὐθαιρέτως ῥίψαντα καὶ ἀκτημοσύνην ἀσπασάμενον, σήμερον <δὲ> ἐν δικαστηρίοις προσεδρεύοντα, καὶ τὰ ἤδη καταγνωσθέντα φιλοτίμως πάλιν πρὸς ἑαυτὸν ἀνακαλούμενον· καὶ τὸν ἑαυτοῦ νοῦν ἐκ τῶν οὐρανίων πρὸς τὰ χαμαίζηλα μετοικήσαντα, καὶ τοῖς δικασταῖς δίκην ἀνδραπόδων γλιχόμενον ἀκολουθοῦντα, καὶ ἀντὶ προσευχῆς καὶ μελέτης λογίων Θεοῦ δικολόγοις προσδιαλεγόμενον, καὶ 160 ἀντὶ ἁπλότητος καὶ ἀκακίας δεινότητα ἠθῶν τε καὶ λόγων μεταλαμβάνοντα; Εἴθε δὲ κἂν ἐκ τῶν ὁρωμένων δικαστηρίων εἰς νοῦν ἐλαμβάνομεν τὸ κριτήριον τὸ μέλλον, καὶ ἐφύγομεν τὰς περιστάσεις τοῦ βίου, καὶ μετεβάλλομεν τὸν τρόπον πρὸς εὐσέβειαν. Τότε γάρ, τότε χαρὰ ἔσται ἐν Ἀγγέλοις, καὶ εὐφροσύνη τοῖς σπουδαίοις, καὶ ἀνάκτησις τοῖς οἰκείοις· τὸ γὰρ πένθος τῶν δυσφορησάντων ἐπὶ τῇ ἀναχωρήσει μεταβάλλεται εἰς εὐφροσύνην διὰ τὴν ἀρίστην τοῦ υἱοῦ πολιτείαν. Μακαρίζονται γὰρ ὑπὸ φίλων καὶ μάλιστα ὁρώντων τὰς περιστάσεις τῶν ἀναστρεφομένων ἐν τῷ βίῳ· καὶ ὡς δῶρον Κυρίῳ τῶν Θεῷ προσενέγκαντες μακαρίζονται. Καυχᾶται τὸ γένος ἐπὶ ταῖς ἀνδραγαθίαις τοῦ γενναίου ἀθλητοῦ, καὶ γεγηθότες ἐπερωτῶσι τοὺς παρατυγχάνοντας· ἡ δὲ ἀρετὴ κρυβῆναι οὐ δύναται. Ἀκούουσι τὴν ἐπικρατοῦσαν περὶ αὐτοῦ ἀγαθὴν φήμην, καὶ δοξάζουσιν ἐπὶ τούτοις τὸν Κύριον, καὶ ἑαυτοὺς οἰκείους καὶ συγγενεῖς τοῦ ἀγωνιστοῦ διαβεβαιοῦνται ὑπάρχειν. Οἱ ἐν ἀξιώματι τὸν ἀπὸ ἀξιωμάτων ἐγκωμιάζουσιν· οἱ στρατιῶται τὸν ἀπὸ στρατιωτῶν ὑπερθαυμάζουσιν· οἱ συντεχνῖται τὸν 161 ἀπὸ ὁμοιοτέχνων ἐπαινοῦσιν. Οὕτω τοῖς πᾶσι ποθεινοὺς καὶ ἐπιδόξους ἡ ἀρετὴ τοὺς κατωρθωκότας καθίστησιν ἐν Κυρίῳ. Διὸ ἐν δόξῃ στεφανωθήσονται καὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.